**Γ΄ ΤΑΞΗ**

**ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ Γ΄ ΤΑΞΗΣ**
**ΗΜΕΡΗΣΙΟΥ ΕΝΙΑΙΟΥ ΛΥΚΕΙΟΥ**
**ΤΡΙΤΗ 7 ΙΟΥΝΙΟΥ 2005**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΠΕΝΤΕ (5)**

## Διδαγμένο κείμενο
## Θουκυδίδη *Περικλέους Ἐπιτάφιος* (40)

Φιλοκαλοῦμέν τε γὰρ μετ’ εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινι αἰσχρόν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις ἕτερα πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ’ ἀχρεῖον νομίζομεν, καὶ οἱ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτιστοι δ’ ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἐνηντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι’ εὐνοίας ᾧ δέδωκε σῴζειν· ὁ δὲ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ’ ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων.

**Α.** Από το κείμενο που σας δίνεται, να μεταφράσετε στο τετράδιό σας το απόσπασμα: **«διαφερόντως γὰρ … ἀρετὴν ἀποδώσων».**

**Μονάδες 10**

**Β.** *Να γράψετε στο τετράδιό σας τις απαντήσεις των παρακάτω ερωτήσεων*:

**Β1.** Ο «πρακτικός άνθρωπος» στην αρχαιότητα, όπως και σήμερα, συνήθως υπερτιμούσε τη δράση σε σχέση με **τον λόγον** («τα λόγια», «τη λογική ανάλυση», «τη γνώση»). Με σύντομη ανάλυση των δεδομένων του κειμένου **«Φιλοκαλοῦμέν τε … ἔργῳ ἐλθεῖν»**, να εξηγήσετε με ποιο τρόπο συνειδητά διορθώνει ο Περικλής την εκτίμηση αυτή, τόσο στην ιδιωτική σφαίρα, όσο και στη σφαίρα της πολιτικής.

**Μονάδες 15**

**Β2.** **«διαφερόντως γὰρ δὴ … ἐκ τῶν κινδύνων»**: Με βάση τα δεδομένα του ανωτέρω τμήματος του κειμένου, να δείξετε με συντομία πώς ο ρήτορας, σε αντίθεση με την κοινή άποψη των άλλων Ελλήνων, ορίζει την έννοια της **ανδρείας**.

**Μονάδες 15**

**Β3.** Ποια είναι η βασική απόκλιση του Επιταφίου του Περικλή από τη συνηθισμένη δομή των επιτάφιων λόγων;

**Μονάδες 10**

**Β4.** Να γράψετε στο τετράδιό σας δύο ομόρριζες λέξεις της αρχαίας ή νέας ελληνικής, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου: ***διαφεύγειν, μετέχοντα, διαφερόντως, χάριν, εὐνοίας***.

**Μονάδες 10**

## Γ. Αδίδακτο κείμενο
## Λυκούργου *Κατά Λεωκράτους* 20 83-84

Τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ὑμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν· ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. ἐπὶ Κόδρου γὰρ βασιλεύοντος Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν, καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων εἰ λήψονται τὰς Ἀθήνας· ἀνελόντος δ' αὐτοῖς τοῦ θεοῦ, ὅτι τὴν πόλιν αἱρήσουσιν ἐὰν μὴ τὸν βασιλέα τὸν Ἀθηναίων {Κόδρον} ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας.

**Γ1.** Να μεταφράσετε στο τετράδιό σας το κείμενο.

**Μονάδες 20**

**Γ2.α.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

**διενηνόχασιν** : το τρίτο ενικό πρόσωπο οριστικής μέλλοντα της ίδιας φωνής.
**ἀποστείλαντες** : το τρίτο πληθυντικό πρόσωπο οριστικής μέλλοντα της ίδιας φωνής.
**ἐπηρώτων** : το τρίτο ενικό πρόσωπο ευκτικής ενεστώτα της ίδιας φωνής.
**λήψονται** : το δεύτερο ενικό πρόσωπο οριστικής παρακειμένου της ίδιας φωνής.
**ἀνελόντος** : το δεύτερο ενικό πρόσωπο προστακτικής αορίστου β΄ της ίδιας φωνής.

**Μονάδες 5**

**Γ2.β.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

| | | |
|---|---|---|
| **τοῦτο** | : | την ονομαστική πληθυντικού του αρσενικού γένους. |
| **μέγιστον** | : | τη δοτική πληθυντικού του αρσενικού γένους στο συγκριτικό βαθμό. |
| **πασῶν** | : | τη δοτική ενικού του αρσενικού γένους. |
| **γενομένης** | : | την ονομαστική πληθυντικού του θηλυκού γένους. |
| **τὸν βασιλέα** | : | την κλητική του ενικού αριθμού. |

**Μονάδες 5**

**Γ3.α.** Να προσδιορίσετε τη συντακτική θέση των παρακάτω λέξεων:
***τῶν καλῶν, παράδειγμα, ἀρετῇ, ἐπὶ τὴν πόλιν, πρῶτον, αὐτοῖς***.

**Μονάδες 6**

**Γ3.β.** Να βρεθεί ο υποθετικός λόγος του κειμένου· να αναγνωρισθεί το είδος του και να μετατραπεί σε υποθετικό λόγο που να δηλώνει την αόριστη επανάληψη στο παρόν και στο μέλλον.

**Μονάδες 4**

## ΟΔΗΓΙΕΣ ΓΙΑ ΤΟΥΣ ΕΞΕΤΑΖΟΜΕΝΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). **Να μην αντιγράψετε** τα θέματα στο τετράδιο.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν. **Καμιά άλλη σημείωση δεν επιτρέπεται να γράψετε**.

Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα, τα οποία και θα καταστραφούν μετά το πέρας της εξέτασης.

**3.** Να απαντήσετε **στο τετράδιό σας** σε όλα τα θέματα.

**4.** Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.

**5.** Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.

**6.** Χρόνος δυνατής αποχώρησης: μετά τη **10.30΄** πρωινή.

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

Δ΄ ΤΑΞΗ

**ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**Δ′ ΤΑΞΗΣ**
**ΕΣΠΕΡΙΝΟΥ ΕΝΙΑΙΟΥ ΛΥΚΕΙΟΥ**
**ΔΕΥΤΕΡΑ 6 ΙΟΥΝΙΟΥ 2005**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ**
**ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ :**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ : ΠΕΝΤΕ (5)**

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

**Θουκυδίδου *Περικλέους Ἐπιτάφιος* (ΙΙ, 41)**

«Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι καὶ καθ’ ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ’ ἡμῶν ἐπὶ πλεῖστ’ ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ’ ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ’ οἵων κακοπαθεῖ οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ’ ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ’ ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες».

**Α.** Από το κείμενο που σας δόθηκε να μεταφράσετε στο τετράδιό σας το τμήμα: «***Ξυνελὼν ... ἄρχεται***».

***Μονάδες 10***

**Β.** Να απαντήσετε στα παρακάτω:

**Β1.** Σύμφωνα με το σχολικό βιβλίο, στο κεφάλαιο 41 «έχουμε τον απόλυτο ύμνο της Αθήνας». Να επισημάνετε εκείνα τα στοιχεία από το κείμενο τα οποία δικαιολογούν την παραπάνω άποψη.

***Μονάδες 10***

**Β2.** ***«πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες»:***

Γιατί ο Περικλής, ενώ φιλοτεχνεί μια εξιδανικευμένη εικόνα της Αθήνας, αναφέρεται όχι μόνο στις νίκες της αλλά και στις αποτυχίες της;

***Μονάδες 10***

**Β3.** Αφού μελετήσετε το παρακάτω μεταφρασμένο κείμενο, να αιτιολογήσετε τον ισχυρισμό του Περικλή: ***«καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει».***

## ΜΕΤΑΦΡΑΣΜΕΝΟ ΚΕΙΜΕΝΟ

Αυτοί εδώ λοιπόν, σαν γνήσια παιδιά της πόλης, αυτό το φρόνημα έδειξαν. Όσοι όμως μένετε, έχετε καθήκον να εύχεστε το φρόνημά σας απέναντι στους εχθρούς να σας βάλει σε μικρότερο κίνδυνο, αλλά να μη καταδεχτείτε να είναι λιγότερο τολμηρό, λογαριάζοντας όχι μόνο με τα λόγια τις ωφέλειες – κάτι που θα μπορούσε ν' αναπτύξει κάποιος διεξοδικότερα

σε σας, που κι από μόνοι σας τις ξέρετε εξίσου καλά, απαριθμώντας πόσα καλά εξασφαλίζει η αντίσταση στον εχθρό –, καλύτερα όμως προσηλώνοντας καθημερινά το βλέμμα σας στα έργα, που δείχνουν τη δύναμη της πόλης μας, κι έτσι να την αγαπήσετε με πάθος.

**Θουκυδίδου *Περικλέους Ἐπιτάφιος* (ΙΙ, 43,1-10)**

***Μονάδες 10***

**Β4.** Ποια είναι η λειτουργία των δημηγοριών μέσα στο έργο του Θουκυδίδη;

***Μονάδες 10***

**Β5.** Για καθεμιά από τις παρακάτω λέξεις να γράψετε στο τετράδιό σας μια λέξη του πρωτότυπου κειμένου ετυμολογικά συγγενή:
***παροχή, απόκτηση, σημασία, μομφή, αρχηγός***.

***Μονάδες 10***

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

### Λουκιανού, *Ἐνύπνιον* 10

Ἢν δ' ἐμοὶ πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστάς, καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα καὶ πάντων ὡς εἰπεῖν ἔμπειρον ἀποφαίνουσα, καὶ τὴν ψυχήν, ὅπερ σου κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πρᾳότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα

γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀληθῶς κόσμος. Λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ μέλλοντα προόψει μετ' ἐμοῦ, καὶ ὅλως ἅπαντα, ὁπόσα ἐστί, τά τε θεῖα τά τ' ἀνθρώπινα, οὐκ εἰς μακράν σε διδάξομαι.

---

***ἀκήρατος*** = γνήσιος
***λήσει σε οὐδὲν*** = δεν θα σου μείνει τίποτα άγνωστο

**Γ1.** Να μεταφράσετε στο τετράδιό σας το παραπάνω κείμενο.

***Μονάδες 20***

**Γ2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

| | |
|---|---|
| ***ἐμοὶ:*** | τη δοτική πληθυντικού στο ίδιο πρόσωπο. |
| ***πείθῃ:*** | το β΄ ενικό πρόσωπο οριστικής αορίστου β΄ της ίδιας φωνής. |
| ***ἀπαγγέλλουσα:*** | τη δοτική πληθυντικού του ίδιου γένους. |
| ***ἀποφαίνουσα:*** | το α' πληθυντικό πρόσωπο οριστικής μέλλοντα της μέσης φωνής. |
| ***πολλοῖς:*** | την αιτιατική πληθυντικού του θηλυκού γένους στον υπερθετικό βαθμό. |
| ***ἔρωτι:*** | τη γενική πληθυντικού. |
| ***γενέσθαι:*** | το β΄ ενικό πρόσωπο ευκτικής του ίδιου χρόνου και της ίδιας φωνής. |
| ***προόψει:*** | το τρίτο πληθυντικό πρόσωπο ευκτικής του ίδιου χρόνου και της ίδιας φωνής. |
| ***ἅπαντα:*** | τη γενική ενικού του θηλυκού γένους. |
| ***διδάξομαι:*** | το απαρέμφατο αορίστου παθητικής φωνής. |

***Μονάδες 10***

**Γ3. α.** ***«Ἦν δ' ἐμοὶ . . . θαυμαστάς»***. Να χαρακτηρίσετε το είδος του υποθετικού λόγου και να γράψετε με ποιον τρόπο εκφέρεται.

***Μονάδες 4***

**Γ3. β.** Να αναγνωρίσετε συντακτικώς τα παρακάτω: ***σοι, πάντων, ὅπερ, κοσμήμασι, ὁ τῆς ψυχῆς, τὰ μέλλοντα.***

***Μονάδες 6***

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνον τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). Δεν θα μεταφέρετε στο τετράδιο τα κείμενα και τις ερωτήσεις.
2. Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν. Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση. Κατά την αποχώρησή σας, να παραδώσετε μαζί με το τετράδιο και το φωτοαντίγραφο.
3. Να μεταφράσετε ό,τι σας ζητείται από το διδαγμένο κείμενο και ολόκληρο το αδίδακτο.
4. Να απαντήσετε στο τετράδιό σας σε όλες τις ερωτήσεις.
5. Κάθε τεκμηριωμένη απάντηση είναι αποδεκτή.
6. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.
7. Χρόνος δυνατής αποχώρησης: μία (1) ώρα μετά την έναρξη της εξέτασης.

**ΤΥΧΗι ΑΓΑΘΗι**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

**Γ΄ ΤΑΞΗ**

**ΕΠΑΝΑΛΗΠΤΙΚΕΣ ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ Γ΄ ΤΑΞΗΣ**
**ΗΜΕΡΗΣΙΟΥ ΕΝΙΑΙΟΥ ΛΥΚΕΙΟΥ**
**ΔΕΥΤΕΡΑ 11 ΙΟΥΛΙΟΥ 2005**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΠΕΝΤΕ (5)**

**Διδαγμένο κείμενο**
**Θουκυδίδη *Περικλέους Ἐπιτάφιος* (37)**

"Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τισὶν ἢ μιμούμενοι ἑτέρους. καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ’ ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλέον ἐς τὰ κοινὰ ἢ ἀπ’ ἀρετῆς προτιμᾶται, οὐδ’ αὖ κατὰ πενίαν, ἔχων γέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ’ ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι’ ὀργῆς τὸν πέλας, εἰ καθ’ ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μέν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν αἰεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ’ ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσιν".

**Α.** Από το κείμενο που σας δίνεται, να μεταφράσετε στο τετράδιό σας το απόσπασμα: **«ἐλευθέρως δὲ … αἰσχύνην ὁμολογουμένην φέρουσιν».**

**Μονάδες 10**

**Β.** *Να γράψετε στο τετράδιό σας τις απαντήσεις των παρακάτω ερωτήσεων*:

**Β1.** **«μέτεστι δὲ … ἀχθηδόνας προστιθέμενοι»**: να αναλύσετε τα στοιχεία του αποσπάσματος που αναφέρονται στις βασικές αρχές της αθηναϊκής δημοκρατίας, οι οποίες, σύμφωνα με τον ρήτορα, καθορίζουν τη δημόσια ζωή των Αθηναίων πολιτών.

**Μονάδες 10**

**Β2.** **«ἀνεπαχθῶς δὲ … φέρουσιν»**: Με βάση τα στοιχεία του αποσπάσματος να σχολιάσετε τη σχέση του Αθηναίου πολίτη με τους γραπτούς και άγραφους νόμους.

**Μονάδες 10**

**Β3.** Να συσχετίσετε το περιεχόμενο της έννοιας της αρετής των γυναικών, όπως προσδιορίζεται από τον ρήτορα στο μεταφρασμένο κείμενο που ακολουθεί, με το περιεχόμενο το οποίο έχει η έννοια της αρετής του Αθηναίου πολίτη στο διδαγμένο κείμενο.

**Θουκυδίδη *Περικλέους Ἐπιτάφιος (45)***

[…] Κι αν είμαι υποχρεωμένος ν' αναφέρω κάτι για την αρετή που ταιριάζει στη φύση της γυναίκας, θα δηλώσω, για όσες τώρα θα μείνουν χήρες, με μια σύντομη παραίνεση όλη μου τη σκέψη: δηλαδή, μεγάλη η δόξα σας, αν δεν φανείτε κατώτερες απ' τη γυναίκεια φύση, όπως κι η δόξα εκείνης, που τ' όνομά της θ' ακουστεί λιγότερο, επαινετικά ή περιγελαστικά, ανάμεσα στους άντρες.

**Μονάδες 10**

**Β4.** Ποιο ήταν το σημαντικότερο σε έκταση μέρος των αττικών επιταφίων και για ποιους λόγους;

**Μονάδες 10**

**Β5.** Να γράψετε στο τετράδιό σας δύο ομόρριζες λέξεις της αρχαίας ή νέας ελληνικής, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου: **κέκληται, δρᾶσαι, κοινόν, πολιτεύομεν, ὀργῆς.**

**Μονάδες 10**

## Γ. Αδίδακτο κείμενο
## Ἀντιφῶντος *Περὶ τοῦ χορευτοῦ* 25

Ἐπίστασθε δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις, καὶ ἔλεγχοι ἐκ τούτων σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν μὲν ἐλεύθεροι πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι, καὶ ἐξείη μὲν τοὺς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστίν, ἐξείη δὲ τοὺς δούλους ἑτέραις ἀνάγκαις, ὑφ᾽ ὧν καί ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν· ἡ γὰρ παροῦσα ἀνάγκη ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι.

**Γ1.** Να μεταφράσετε στο τετράδιό σας το κείμενο.

**Μονάδες 20**

**Γ2.α.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

**ἐπίστασθε** : το δεύτερο ενικό πρόσωπο της ευκτικής ενεστώτα.

**συνειδότες** : το απαρέμφατο ενεστώτα.
**ἐξείη** : το τρίτο ενικό πρόσωπο οριστικής μέλλοντα.
**ἀποθανεῖσθαι** : το δεύτερο πληθυντικό πρόσωπο οριστικής αορίστου β΄.
**κατειπόντες** : το δεύτερο ενικό πρόσωπο προστακτικής αορίστου β΄ της ενεργητικής φωνής.

**Μονάδες 5**

**Γ2.β.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:
**πολλοί** : τη γενική πληθυντικού του αρσενικού γένους στο συγκριτικό βαθμό.
**πίστεσιν** : τη δοτική του ενικού αριθμού.
**ἅ** : τη δοτική πληθυντικού του θηλυκού γένους.
**σαφέστατοι** : τη γενική ενικού του αρσενικού γένους στο θετικό βαθμό.
**παροῦσα** : την ονομαστική πληθυντικού του ουδετέρου γένους.

**Μονάδες 5**

**Γ3.α.** Να προσδιορίσετε τη συντακτική θέση των παρακάτω λέξεων:
**περὶ τοῦ δικαίου, ὅρκοις, ἀναγκάζειν, μέγιστα, τἀληθῆ, τῆς μελλούσης.**

**Μονάδες 6**

**Γ3.β.** **εἰσι, μέλλωσιν**: να γράψετε τις προτάσεις στις οποίες ανήκουν τα παραπάνω ρήματα και να τις αναγνωρίσετε ως προς το είδος τους.

**Μονάδες 4**

**Γ΄ ΤΑΞΗ**

## ΟΔΗΓΙΕΣ ΓΙΑ ΤΟΥΣ ΕΞΕΤΑΖΟΜΕΝΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνο τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). **Να μην αντιγράψετε τα θέματα στο τετράδιο**.
2. Να γράψετε το ονοματεπώνυμό σας στο επάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν. **Δεν επιτρέπεται να γράψετε καμιά άλλη σημείωση**.
   Κατά την αποχώρησή σας να παραδώσετε μαζί με το τετράδιο και τα φωτοαντίγραφα, τα οποία και θα καταστραφούν μετά το πέρας της εξέτασης.
3. Να απαντήσετε **στο τετράδιό σας** σε όλα τα θέματα.
4. Κάθε απάντηση τεκμηριωμένη είναι αποδεκτή.
5. Διάρκεια εξέτασης: τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.
6. Χρόνος δυνατής αποχώρησης: μετά τη **10.30΄** πρωινή.

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

**ΕΠΑΝΑΛΗΠΤΙΚΕΣ ΑΠΟΛΥΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**Δ′ ΤΑΞΗΣ ΕΣΠΕΡΙΝΟΥ ΕΝΙΑΙΟΥ ΛΥΚΕΙΟΥ**
**ΤΕΤΑΡΤΗ 6 ΙΟΥΛΙΟΥ 2005**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ**
**ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ:**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΠΕΝΤΕ (5)**

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

### *Ἀριστοτέλους, Ἠθικὰ Νικομάχεια Β,* 1, 1-4

Διττῆς δὴ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς τῆς δὲ ἠθικῆς, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου, ἡ δ’ ἠθικὴ ἐξ ἔθους περιγίνεται, ὅθεν καὶ τοὔνομα ἔσχηκε μικρὸν παρεκκλῖνον ἀπὸ τοῦ ἔθους. Ἐξ οὗ καὶ δῆλον ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται· οὐθὲν γὰρ τῶν φύσει ὄντων ἄλλως ἐθίζεται, οἷον ὁ λίθος φύσει κάτω φερόμενος οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι, οὐδ’ ἂν μυριάκις αὐτὸν ἐθίζῃ τις ἄνω ῥιπτῶν, οὐδὲ τὸ πῦρ κάτω, οὐδ’ ἄλλο οὐδὲν τῶν ἄλλως πεφυκότων ἄλλως ἂν ἐθισθείη. Οὔτ’ ἄρα φύσει οὔτε παρὰ φύσιν ἐγγίνονται αἱ ἀρεταί, ἀλλὰ πεφυκόσι μὲν ἡμῖν δέξασθαι αὐτάς, τελειουμένοις δὲ διὰ τοῦ ἔθους.

Ἔτι ὅσα μὲν φύσει ἡμῖν παραγίνεται, τὰς δυνάμεις τούτων πρότερον κομιζόμεθα, ὕστερον δὲ τὰς ἐνεργείας ἀποδίδομεν (ὅπερ ἐπὶ τῶν αἰσθήσεων δῆλον· οὐ γὰρ ἐκ τοῦ πολλάκις ἰδεῖν ἢ πολλάκις ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν,

ἀλλ' ἀνάπαλιν ἔχοντες ἐχρησάμεθα, οὐ χρησάμενοι ἔσχομεν)· τὰς δ' ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες πρότερον, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ποιοῦντες μανθάνομεν, οἷον οἰκοδομοῦντες οἰκοδόμοι γίνονται καὶ κιθαρίζοντες κιθαρισταί· οὕτω δὴ καὶ τὰ μὲν δίκαια πράττοντες δίκαιοι γινόμεθα, τὰ δὲ σώφρονα σώφρονες, τὰ δ' ἀνδρεῖα ἀνδρεῖοι.

**Α.** Από το παραπάνω κείμενο να μεταφράσετε στο τετράδιό σας το τμήμα: "***Διττῆς δὴ τῆς ἀρετῆς ... διὰ τοῦ ἔθους***".

***Μονάδες 10***

**Β.** Να απαντήσετε στα παρακάτω:

**Β.1.** "***Ἐξ οὗ καὶ δῆλον ὅτι οὐδεμία τῶν ἠθικῶν ἀρετῶν φύσει ἡμῖν ἐγγίνεται***": Με βάση το παραπάνω χωρίο, ποια είναι η θέση του Αριστοτέλη απέναντι στην αριστοκρατική αντίληψη περί αρετής;

***Μονάδες 15***

**Β.2.** Με βάση το κείμενο που σας δόθηκε, να αναφέρετε και να σχολιάσετε τρία παραδείγματα από την καθημερινή εμπειρία, με τα οποία ο Αριστοτέλης τεκμηριώνει την άποψη ότι η ηθική αρετή κατακτάται με την άσκηση.

***Μονάδες 15***

**Β.3.** Ποια είναι η άποψη του Δημοκρίτου για την *εὐδαιμονία*;

***Μονάδες 10***

**Β.4.** ***φύσει, δέξασθαι, δυνάμεις, ἐλάβομεν, μαθόντας:*** Να γράψετε στο τετράδιό σας δύο ***σύνθετα ομόρριζα***, της αρχαίας ή της νέας ελληνικής, για καθεμιά από τις παραπάνω λέξεις.

***Μονάδες 10***

## Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

### Ἀνδοκίδου, *Περὶ τῶν μυστηρίων* § 142 - 143

Ἐπειδὴ γάρ, ὦ ἄνδρες, αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ ὄντες σῴζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετάς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ὑμετέρων ἀρετάς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι’ ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο.

---

***ὑπάρχω*** + γενική = κάνω αρχή

**Γ.1.** Να μεταφράσετε στο τετράδιό σας το παραπάνω κείμενο.

***Μονάδες 20***

**Γ.2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

***νῆες:*** τη δοτική πληθυντικού.

***διεφθάρησαν:*** το β΄ πληθυντικό πρόσωπο ευκτικής του ίδιου χρόνου στην ίδια φωνή.

***περιβαλεῖν:*** το απαρέμφατο παρακειμένου της μέσης φωνής.

***πόλιν:*** τη δοτική πληθυντικού.

***ἔγνωσαν:*** το β΄ ενικό πρόσωπο προστακτικής του ίδιου χρόνου στην ίδια φωνή.

***ἁπάσῃ:*** την ονομαστική πληθυντικού του ίδιου γένους.

***ὑμετέρων:*** την ίδια πτώση στο γ΄ πρόσωπο.

***γενέσθαι:*** το β΄ ενικό πρόσωπο οριστικής του ίδιου χρόνου.

***ἅπερ:*** τη δοτική πληθυντικού του ίδιου γένους.

***ἐλάχιστον:*** τη γενική πληθυντικού στο θετικό βαθμό του ίδιου γένους.

***Μονάδες 10***

**Γ.3.α.** ***ὑπῆρξαν, συνεβάλοντο:*** Να γράψετε τις προτάσεις στις οποίες ανήκουν τα παραπάνω ρήματα και να τις αναγνωρίσετε ως προς το είδος τους.

***Μονάδες 4***

**Γ.3.β.** Να αναγνωρίσετε συντακτικώς τα παρακάτω:
***ἀνηκέστοις, ἐχθροὶ, τῇ Ἑλλάδι, σωτηρίαν, τῶν ἔργων, οἱ ἐμοὶ.***

***Μονάδες 6***

Δ΄ ΤΑΞΗ

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

**1.** Στο τετράδιο να γράψετε μόνον τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). Δεν θα μεταφέρετε στο τετράδιο τα κείμενα και τις ερωτήσεις.

**2.** Να γράψετε το ονοματεπώνυμό σας στο πάνω μέρος των φωτοαντιγράφων, αμέσως μόλις σας παραδοθούν.

**Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση**. Κατά την αποχώρησή σας, να παραδώσετε μαζί με το τετράδιο και το φωτοαντίγραφο.

**3.** Να μεταφράσετε ό,τι σας ζητείται από το διδαγμένο κείμενο και ολόκληρο το αδίδακτο.

**4.** Να απαντήσετε στο τετράδιό σας σε όλες τις ερωτήσεις.

**5.** Κάθε τεκμηριωμένη απάντηση είναι αποδεκτή.

**6.** Διάρκεια εξέτασης: Τρεις (3) ώρες μετά τη διανομή των φωτοαντιγράφων.

**7.** Χρόνος δυνατής αποχώρησης: Μια (1) ώρα μετά την έναρξη της εξέτασης.

**ΕΥΧΟΜΑΣΤΕ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**

**ΕΙΣΑΓΩΓΙΚΕΣ ΕΞΕΤΑΣΕΙΣ**
**ΤΕΚΝΩΝ ΕΛΛΗΝΩΝ ΤΟΥ ΕΞΩΤΕΡΙΚΟΥ**
**ΚΑΙ ΤΕΚΝΩΝ ΕΛΛΗΝΩΝ ΥΠΑΛΛΗΛΩΝ ΣΤΟ ΕΞΩΤΕΡΙΚΟ**
**ΤΡΙΤΗ 13 ΣΕΠΤΕΜΒΡΙΟΥ 2005**
**ΕΞΕΤΑΖΟΜΕΝΟ ΜΑΘΗΜΑ**
**ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ: ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ**
**ΣΥΝΟΛΟ ΣΕΛΙΔΩΝ: ΤΕΣΣΕΡΙΣ (4)**

**1. Διδαγμένο κείμενο από το πρωτότυπο.**
**Πλάτωνος Πολιτεία, 519 Β - 520 Α.**

Τί δέ; Τόδε οὐκ εἰκός, ἦν δ’ ἐγώ, καὶ ἀνάγκη ἐκ τῶν προειρημένων, μήτε τοὺς ἀπαιδεύτους καὶ ἀληθείας ἀπείρους ἱκανῶς ἄν ποτε πόλιν ἐπιτροπεῦσαι, μήτε τοὺς ἐν παιδείᾳ ἐωμένους διατρίβειν διὰ τέλους, τοὺς μὲν ὅτι σκοπὸν ἐν τῷ βίῳ οὐκ ἔχουσιν ἕνα, οὗ στοχαζομένους δεῖ ἅπαντα πράττειν ἃ ἂν πράττωσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, τοὺς δὲ ὅτι ἑκόντες εἶναι οὐ πράξουσιν, ἡγούμενοι ἐν μακάρων νήσοις ζῶντες ἔτι ἀπῳκίσθαι;

Ἀληθῆ, ἔφη.

Ἡμέτερον δὴ ἔργον, ἦν δ’ ἐγώ, τῶν οἰκιστῶν τάς τε βελτίστας φύσεις ἀναγκάσαι ἀφικέσθαι πρὸς τὸ μάθημα ὃ ἐν τῷ πρόσθεν ἔφαμεν εἶναι μέγιστον, ἰδεῖν τε τὸ ἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν, καὶ ἐπειδὰν ἀναβάντες ἱκανῶς ἴδωσι, μὴ ἐπιτρέπειν αὐτοῖς ὃ νῦν ἐπιτρέπεται.

Τὸ ποῖον δή;

Τὸ αὐτοῦ, ἦν δ’ ἐγώ, καταμένειν καὶ μὴ ἐθέλειν πάλιν καταβαίνειν παρ’ ἐκείνους τοὺς δεσμώτας μηδὲ μετέχειν τῶν παρ’ ἐκείνοις πόνων τε καὶ τιμῶν, εἴτε φαυλότεραι εἴτε σπουδαιότεραι.

Ἔπειτ’, ἔφη, ἀδικήσομεν αὐτούς, καὶ ποιήσομεν χεῖρον ζῆν, δυνατὸν αὐτοῖς ὂν ἄμεινον;

Ἐπελάθου, ἦν δ’ ἐγώ, πάλιν, ὦ φίλε, ὅτι νόμῳ οὐ τοῦτο μέλει, ὅπως ἕν τι γένος ἐν πόλει διαφερόντως εὖ πράξει, ἀλλ’ ἐν ὅλῃ τῇ πόλει τοῦτο μηχανᾶται ἐγγενέσθαι, συναρμόττων τοὺς πολίτας πειθοῖ τε καὶ ἀνάγκῃ, ποιῶν

μεταδιδόναι ἀλλήλοις τῆς ὠφελίας ἣν ἂν ἕκαστοι τὸ κοινὸν δυνατοὶ ὦσιν ὠφελεῖν καὶ αὐτὸς ἐμποιῶν τοιούτους ἄνδρας ἐν τῇ πόλει, οὐχ ἵνα ἀφιῇ τρέπεσθαι ὅπῃ ἕκαστος βούλεται, ἀλλ' ἵνα καταχρῆται αὐτὸς αὐτοῖς ἐπὶ τὸν σύνδεσμον τῆς πόλεως.

**Να απαντήσετε στα παρακάτω :**

**α)** Από το παραπάνω κείμενο να μεταφράσετε στη νέα ελληνική γλώσσα το απόσπασμα **«Τί δέ; ... ὃ νῦν ἐπιτρέπεται».**

**Μονάδες 10**

**β1)** Να σχολιάσετε ερμηνευτικά τη φράση «**ἰδεῖν τε τὸ ἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν**».

**Μονάδες 15**

**β2)** Ποια είναι η ηθική υποχρέωση των φιλοσόφων κατά τον Πλάτωνα, όπως διαφαίνεται από το κείμενο;

**Μονάδες 15**

**β3)** Ποια είναι η αγωγή των φυλάκων κατά τον Πλάτωνα;

**Μονάδες 10**

**β4)** Να γράψετε δύο ομόρριζες λέξεις της νέας ελληνικής γλώσσας, απλές ή σύνθετες, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

**διατρίβειν, μετέχειν, μηχανᾶται, ἐπελάθου, διαφερόντως.**

**Μονάδες 10**

**2. Αδίδακτο κείμενο.**
**Ξενοφῶντος Ἑλληνικά Στ, IV, 5 - 6.**

Ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες ἔλεγον˙ Ὦ Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. ἀναμνησθήσονται γάρ σου καὶ ὅτε εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος οὐδὲν τῆς χώρας τῶν Θηβαίων ἐδῄωσας, καὶ ὅτε ὕστερον στρατεύων ἀπεκρούσθης τῆς ἐμβολῆς, Ἀγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. εἴπερ οὖν ἢ σαυτοῦ κήδει ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας. οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον. οἱ δ’ ἐναντίοι˙ Νῦν δή, ἔφασαν, δηλώσει ὁ ἀνὴρ εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται. ὁ μὲν δὴ Κλεόμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην συνάπτειν.

**Να απαντήσετε στα παρακάτω :**

**α)** Να μεταφράσετε στη νέα ελληνική γλώσσα το παραπάνω κείμενο.

**Μονάδες 20**

**β1)** Να γράψετε τις παρακάτω λέξεις στη δοτική του πληθυντικού αριθμού: **πόλεως, κεφαλὰς, ἐμβάλλοντος, ἄνδρας, τοιαῦτα.**

**Μονάδες 5**

**β2)** Να γράψετε τον ζητούμενο τύπο για καθεμιά από τις παρακάτω λέξεις του κειμένου :

**ἀφήσεις:** το γ΄ ενικό πρόσωπο της οριστικής του ενεστώτα στην ίδια φωνή.

**παθεῖν:** το απαρέμφατο του μέλλοντα.

**ἔλεγον:** το β΄ ενικό πρόσωπο της προστακτικής αορίστου β΄ στην ίδια φωνή.

**ἀφικόμενος:** τη μετοχή του ενεστώτα στο ίδιο γένος, αριθμό και πτώση.

**δηλώσει:** το γ΄ ενικό πρόσωπο της οριστικής του αορίστου στην ίδια φωνή.

**Μονάδες 5**

γ) Να γίνει συντακτική αναγνώριση των παρακάτω λέξεων του κειμένου: **ἔσχατα, σου, τῶν Θηβαίων, Ἀγησιλάου, μάχην.**

**Μονάδες 10**

## ΟΔΗΓΙΕΣ ΠΡΟΣ ΤΟΥΣ ΥΠΟΨΗΦΙΟΥΣ

1. Στο τετράδιο να γράψετε μόνον τα προκαταρκτικά (ημερομηνία, κατεύθυνση, εξεταζόμενο μάθημα). Δεν θα μεταφέρετε στο τετράδιο τα κείμενα και τις παρατηρήσεις.
2. Να γράψετε το ονοματεπώνυμό σας στο επάνω μέρος των φωτοτυπιών, αμέσως μόλις σας παραδοθούν.
   Δεν επιτρέπεται να γράψετε οποιαδήποτε άλλη σημείωση. Κατά την αποχώρησή σας, να παραδώσετε μαζί με το τετράδιο και τη φωτοτυπία.
3. Να μεταφράσετε στο τετράδιό σας ό,τι σας ζητείται από το διδαγμένο κείμενο και ολόκληρο το αδίδακτο.
4. Να απαντήσετε σε όλα τα ζητούμενα.
5. Διάρκεια εξέτασης : τρεις (3) ώρες.
6. Χρόνος δυνατής αποχώρησης : μία (1) ώρα μετά τη διανομή των φωτοτυπιών.

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ**

**ΤΕΛΟΣ ΜΗΝΥΜΑΤΟΣ**